καὶ τὰ σώματα· θεραπεύ ἀγάλλεται· ὅθεν οἱ ἐκ τοῦ σκότους παθ(ῶν)

ἐκλυτρούμενοι· πίστει καὶ πόθῳ τῆς θείας φιλανθρωπίας αἰτούμεθα·

τυχεῖν ταῖς πρεσβείαις· ἢ τῶν κακῶν δωρηθῆναι δι' ἡμῖν:·

Πλοῦτον μὲν μόνον οἱ σμονητ(ὸν)· τὸν τῶν ἀρετῶν· ὡς θησαυρίσαντες ἅ-

γιοι· τὴν δόξαν τε ἐπικηρ(ύξαντες)· καὶ φερόμενοι σοφοί· τῶν προσόντων

πλοῦτον ἐβδελύξασθε· διὸ τὸ ἀχειμόνευτον τῶν θαυμάτων ἐλάβετε·

παρὰ Χ(ριστο)ῦ· ἀληθῶς χάριν πλουσίαν· τὰ παράδοξα ἰάματ(α) χα-

ρισμάτων· ὅθεν οἱ πλουτιζόμενοι· αὐτῶν ἐπιδόσεσι· πίστει καὶ

πόθῳ τῆς θείας φιλανθρωπίας αἰτούμε(θα)· τυχεῖν ταῖς πρεσβ(είαις)· καὶ δ(ωρηθῆναι):-

Δόξα· Πάντοτε ἔχοντες Χ(ριστὸ)ν· ἐνεργοῦντα ἐν ὑμῖν ἅγιοι ἀνάργυροι·

θαύματα κατὰ κόσμον· ἀσθενοῦντας θεραπεύετε· ἡ γὰρ βία

τρόπον ὑμῶν· πηγὴ ὑπάρχουσα ἀνεξάντλητος· ἀντλουμένη δὲ μᾶ-

λλον ὑπερεκβλύζει· καὶ χεομένη περισσεύεται· καθεκάστην κε-

νουμένη· καὶ πληθυνομένη· πᾶσι χορηγοῦσα· καὶ μὴ λιπομένη·

καὶ οἱ ἀρυόμενοι· κορέννυνται ἰάματα· καὶ αὐτὴ διαμένει κα-

δαπάνητος· τί οὖν ὑμᾶς καλέσωμεν· θεράποντας ἰατροὺς

ψυχῶν τε καὶ σωμάτων· ἰατῆρας παθῶν ἀνιάτων· δωρε-

ὰν ἰωμένους ἅπαντας· ἀληθῶς τὸ χάρισμα παρὰ τοῦ σ(ωτῆ)ρ(ος)

Χ(ριστο)ῦ· τοῦ πέχοντος ἡμῖν τὸ μέγα ἔλεος: Καὶ νῦν θ(εοτοκίον): Ἀπόστ(ιχα) ἀναγνοὶ

ἀνάρ(γυροι):· Εἰς ὄρ(θρον)· Ἦχος πλ. δ· Κάθισμα· Ὁ πολύευ· Οἱ ἀναθομοι τοὺς αὐτῶν ἴφ